## Vita S. Mariae Aegyptiae[1]

2055 Cap. III, 23. [...] Παρθένε Δέσποινα, ἡ τὸν Θεὸν Λόγον κατὰ σάρκα γεννήσασα, οἶδα μέν, οἶδα ὡς οὐκ ἔστιν εὐπρεπὲς οὐδὲ εὔλογον τὴν οὕτως με ῥυπαρὰν οὖσαν, τὴν οὕτως πανάσωτον, εἰκόνα καθορᾶν σου τῆς Ἀειπαρθένου, σοῦ, τῆς ἁγνῆς, σοῦ τῆς σῶμα καὶ ψυχὴν ἐχούσης καθαρὰν καὶ ἀμόλυντον· δίκαιον γάρ ἐστιν ἐμὲ τὴν ἄσωτον ὑπὸ τῆς σῆς καθαρότητος μισεῖσθαί τε καὶ βδελύττεσθαι. Πλὴν ἐπείπερ, ὡς ἤκουσα, διὰ τοῦτο γέγονεν ὁ Θεός, ὃν ἐγέννησας, ἄνθρωπος, ὅπως καλέσῃ ἁμαρτωλοὺς εἰς μετάνοιαν· βοήθησον τῇ μόνῃ, καὶ μὴ ἐχούσῃ τινὰ πρὸς βοήθειαν· ἐπίταξον κἀμοὶ συγχωρηθῆναι τὴν εἴσοδον τῆς Ἐκκλησίας εἰσελθεῖν· μὴ στερήσῃς με τὸ ξύλον ἰδεῖν, ἐν ᾧ κατὰ σάρκα προσπαγεὶς ὁ Θεὸς ὃν ἐγέννησας, τὸ αἷμα τὸ ἴδιον ὑπὲρ ἐμοῦ δέδωκεν εἰς ἀντίλυτρον· ἐπίταξον, ὦ Δέσποινα, κἀμοὶ τὴν θύραν ἀνοιγῆναι τῆς θείας τοῦ σταυροῦ προσκυνήσεως, καὶ σὲ δίδωμι τῷ ἐκ σοῦ τεχθέντι Θεῷ ἐγγυητὴν ἀξιόχρεων, ὡς οὐκέτι τὴν σάρκα ταύτην ἐνυβρίσω δι' αἰσχρᾶς οἱασδήποτε μίξεως, ἀλλ' ἡνίκα τὸ ξύλον τοῦ σταυροῦ τοῦ Υἱοῦ σου θεάσομαι, κόσμῳ καὶ τοῖς ἐν κόσμῳ πᾶσιν εὐθὺς ἀποτάσσωμαι, καὶ αὐτίκα ἐξέρχωμαι, ὅπου δ' ἂν αὐτή, ὡς ἐγγυητὴς σωτηρίας, ὑποθῇς καὶ ὁδηγήσῃς με. PG 87ter, 3713

---

2055 Cap. III, 23. [...] Domina Virgo, quae Verbum Dei secundum carnem peperisti, scio quoniam neque rationi neque decori congruit, quod ego, usque adeo sordida, tuam semper virginis intemeratam imaginem aspiciam; tuam, inquam, quae semper casta corpus et animam incoinquinatam mundissimamque servasti: quin potius aequum est ut puritas tua me impuram abominetur et oderit. Quandoquidem tamen Deus, quem genuisti, ideo, sicut audivi, homo factus est, ut vocet peccatores ad poenitentiam; adiuva desolatam me et subsidio destitutam: iube etiam mihi indulgeri ingressum ad ecclesiam, neque prives me conspectu illius ligni, in quo confixus quoad carnem natus ex te Deus, proprium sanguinem dedit pro mea redemptione: iube mihi quoque, o Domina, aperiri ostium, ut divinam crucem adorem, teque genito ex te Deo vadem susceptibilem offeram, quod carnem meam nunquam deinceps commodabo obscenae, ut antea, commixtioni, sed mox ut crucem Filii tui videro, mundo et omnibus quae in mundo sunt vale faciens, illuc ibo, quo tu ipsa, velut salutis meae mediatrix, iusseris atque duxeris me. PG 87ter, 3714

[1] Exstat inter op. *Sophronii Hierosol.*; opus *dubium*, sed certe saec. VII. Cf. Lau 168.